εἰσενεγκάμενος ἐξεῦρε τοὺς περὶ τὰ ἱερὰ ἁμαρτόντας, ἐν οἷς καὶ τὸν αὐτοῦ πατέρα ἐμήνυσεν. 7 Καὶ τοὺς μὲν ἄλλους πάντας ἐλέγξας ἐποίησεν ἀπολέσθαι, τὸν δὲ πατέρα ἐρρύσατο, καίτοι δεδεμένον ἤδη, ὑποσχόμενος πολλὰ λυσιτελήσειν αὐτὸν τῇ πόλει. Καὶ οὐκ ἐψεύσατο. Ἤλεγξε γὰρ ὁ Λεωγόρας πολλοὺς δημόσια χρήματα σφετερισαμένους καὶ ἄλλα τινὰ ἀδικοῦντας. Καὶ διὰ μὲν ταῦτα ἀφείθη τῆς αἰτίας· 8 ⟨οὐκ⟩ εὐδοκιμῶν δ' ὁ Ἀνδοκίδης ἐπὶ τοῖς πολιτευομένοις ἐπέθετο ναυκληρίᾳ, καὶ τοῖς τε Κυπρίων βασιλεῦσι καὶ πολλοῖς ἄλλοις ἐπεξενώθη· 9 ὅτε καὶ μίαν τῶν πολιτίδων, Ἀριστείδου θυγατέρα, ἀνεψιὰν οὖσαν αὐτῷ, λάθρᾳ τῶν οἰκείων ἐξαγαγὼν ἔπεμψε δῶρον τῷ Κυπρίων βασιλεῖ. Μέλλων δ' ἐπὶ τούτοις εἰς δικαστήριον εἰσάγεσθαι πάλιν αὐτὴν ἐξέκλεψεν ἀπὸ τῆς Κύπρου, καὶ ληφθεὶς ὑπὸ τοῦ βασιλέως ἐδέθη. 10 Διαδρὰς δ' ἧκεν εἰς τὴν πόλιν, καθ' ὃν χρόνον οἱ τετρακόσιοι διεῖπον τὰ πράγματα. Δεθεὶς δ' ὑπὸ τούτων καὶ διαφυγὼν αὖθις, ὁπότε κατελύθη ἡ ὀλιγαρχία, 11 ἐξέπεσε τῆς πόλεως τῶν τριάκοντα τὴν ἀρχὴν παραλαβόντων. Οἰκήσας δὲ τὸν τῆς φυγῆς χρόνον ἐν Ἤλιδι, κατελθόντων τῶν περὶ Θρασύβουλον καὶ αὐτὸς ἧκεν εἰς τὴν πόλιν. — 12 Πεμφθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς Λακεδαίμονα καὶ δόξας ἀδικεῖν ἔφυγε. — 13 Δηλοῖ δὲ περὶ πάντων ἐν τοῖς λόγοις οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογουμένου περὶ τῶν μυστηρίων εἰσίν, οἱ δὲ καθόδου δεομένου. 14 Σῴζεται δ' αὐτοῦ καὶ ὁ περὶ τῆς ἐνδείξεως λόγος καὶ ἀπολογία πρὸς Φαίακα καὶ ⟨ὁ⟩ περὶ τῆς εἰρήνης. — 15 Καὶ ἤκμακε μὲν κατὰ τοῦτον τὸν χρόνον ἅμα Σωκράτει τῷ φιλοσόφῳ· ἄρχει δ' αὐτῷ τῆς γενέσεως ὀλυμπιὰς μὲν οη', ἄρχων δ' Ἀθήνησι Θεογενίδης, ὥστ' εἶναι πρεσβύτερον αὐτὸν Λυσίου ἔτεσί που δέκα. — 16

**6** 3 εἰσενεγκάμενος e Photio Reiske : ἐνεγκάμενος || **7** 5 σφετερισαμένους (uel ἐσφετερισμένους) Reiske : σφετεριζομένους uulg, νοσφισαμένους Photius || **8** 1 οὐκ add. Duebner (omittit et Photius) || 2 πολιτευομένοις : aut πολιτεύμασιν cum Photio aut πεπολιτευμένοις scribendum censet Blass || **10** 3 δ' ὑπὸ : δὲ καὶ ὑπὸ Photius || **11** 2 ἕως post πόλεως add. Westermann ; τῶν τριάκοντα τὴν ἀρχὴν παραλαβόντων non leguntur apud Photium || **13** 3 καθόδου Xylander : καθόλου || **14** 3 ὁ add. Lipsius || **15** 1 τοῦτον τὸν : τὸν αὐτὸν Westermann || 2 ἄρχει : ἀρχὴ Photius || 4 δέκα Westermann : ἑκατὸν (ἐννέα Meziriac, ὀκτώ Taylor).

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416136907/47 UNIVERSITÄT LEIPZIG